ἢ ζῷον ὁτιοῦν εἴπωμεν, οὐκέθ' ἁπλῶς ἀλλήλοις ἐν τῇ τοι-
αύτῃ λέξει τἀναντία παραβάλλομεν, ἀλλὰ πρὸς τὴν τοῦ φυ-
τοῦ φύσιν ἢ τὴν τοῦ ζῴου τὴν ἀναφορὰν ποιούμεθα, συκῆν
μὲν εὔκρατον. εἰ τύχοι, λέγοντες, ὅταν, οἵα μάλιστα πρέπει
τὴν φύσιν ὑπάρχειν συκῆ, τοιαύτη τις ᾖ, κύνα δ' αὖ καὶ
σῦν καὶ ἵππον καὶ ἄνθρωπον, ἐπειδὰν καὶ τούτων ἕκαστον
547 | ἄριστα τῆς οἰκείας ἔχῃ φύσεως. αὐτὸ δὲ δὴ τοῦτο τὸ
τῆς οἰκείας φύσεως ἔχειν ἄριστα ταῖς ἐνεργείαις κρίνεται.
καὶ γὰρ καὶ φυτὸν καὶ ζῷον ὁτιοῦν ἄριστα διακεῖσθαι
τηνικαῦτά φαμεν, ὅταν ἐνεργήσῃ κάλλιστα. συκῆς μὲν γὰρ
ἀρετὴ βέλτιστά τε καὶ πλεῖστα τελεσφορεῖν σῦκα· κατὰ ταὐτὰ
δὲ καὶ τῆς ἀμπέλου τὸ πλείστας τε καὶ καλλίστας ἐκφέρειν
σταφυλάς, ἵππου δὲ τὸ θεῖν ὠκύτατα καὶ κυνὸς εἰς μὲν
θήρας τε καὶ φυλακὰς ἄκρως εἶναι θυμοειδῆ, πρὸς δὲ τοὺς
οἰκείους πρᾳότατον.

Ἅπαντ' οὖν ταῦτα, τά τε ζῷα λέγω καὶ τὰ φυτά, τὴν
ἀρίστην τε καὶ μέσην ἐν τῷ σφετέρῳ γένει κρᾶσιν ἔχειν
ἐροῦμεν οὐχ ἁπλῶς, ὅταν ἰσότης ἀκριβὴς ᾖ τῶν ἐναντίων,
ἀλλ' ὅταν ἡ κατὰ δύναμιν αὐτοῖς ὑπάρχῃ συμμετρία. τοι-
οῦτον δέ τι καὶ τὴν δικαιοσύνην εἶναί φαμεν, οὐ σταθμῷ
καὶ μέτρῳ τὸ ἴσον, ἀλλὰ τῷ προσήκοντί γε καὶ κατ' ἀξίαν
ἐξετάζουσαν. ἰσότης οὖν κράσεως ἐν ἅπασι τοῖς εὐκράτοις
ζῴοις τε καὶ φυτοῖς ἐστιν, οὐχ ἡ κατὰ τὸν τῶν κερασθέντων
548 στοιχείων ὄγκον, ἀλλ' | ἡ τῇ φύσει τοῦ τε ζῴου καὶ τοῦ
φυτοῦ πρέπουσα. πρέπει δ' ἔσθ' ὅτε τὸ μὲν ὑγρὸν τοῦ ξηροῦ,
τὸ δὲ ψυχρὸν τοῦ θερμοῦ πλέον ὑπάρχειν. οὐ γὰρ ὁμοίαν

---

1 ἀλλήλοις post παραβάλλομεν colloc. O ‖ 2 λέξει LMV τάξει O ‖ 3 τὴν ante ἀναφορὰν om. M ‖ 4 οἵα $L^1$MOV οἵαν $L^2$ ‖ ὑπάρχῃ $L^1$ ὑπάρχειν $L^2$ ὑπάρχει V ‖ 7 δὲ δὴ LMV δὴ O ‖ 8 οἰκείαις add. ante ἐνεργείαις L ‖ 10 ἐνεργήσῃ LM ἐνεργῇ OV ‖ 11 τε om. L ‖ 12 ἐκφορεῖν $L^1$ ἐκφέρειν $L^2$M· εὐφορεῖν O ‖ 13 ὠκύτατα θεῖν (omisso articulo) M ὠκ. τὸ θ. L θεῖν ὠκ. (omisso artic.) V ‖ εἰς LMV πρὸς O ‖ μὲν post κυνὸς coll. L ‖ 14 τε καὶ LMV καὶ O ‖ θυμοειδοῦς O ‖ 18 ἀκριβὴς MV ἀκριβῶς LO ‖ 19 αὐτοῖς LMV αὐτῆς O ‖ 21 γε om. M ‖ κατ' ἀξίαν LM κατὰ τὴν ἀ. OV ‖ 22 ἐξετάζουσαν OV$L^2$ ἐξετάζοντες $L^1$M ‖ 23 τὸν MOV τὴν L ‖ κερασάντων codd. κερασθέντων K ‖ 25 ὅτε μὲν τὸ LMV

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id413088340/40 UNIVERSITÄT LEIPZIG